eul_wid: tyc-ch

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# On Blondness

## *Περὶ ξανθώσεως*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 ΠΕΡΙ ΞΑΝΘΩΣΕΩΣ «Οὐ πᾶσιν ἔδοξεν, ὦ γῦναι, ἀπὸ τῆς λευκώσεως αὐτίκα συνάπ τειν τὴν ξάνθωσιν. Ἑψόμενον γὰρ τὸ λευκὸν σύνθεμα ἐπιπολὺ ἐπὶ τὸ ξανθὸν τρέπεται». Καὶ μετ’ ὀλίγον· «Ἄλλοι τι περιττόν τι τούτων ἐποίησαν. Ἐάσαντες γὰρ ἕως ψυχῇ, κατήνεγκαν καὶ ἐλείωσαν ἐν ἡλίῳ ὕδωρ θεῖον ξανθὸν, ἃς ἐδιδάχθησαν ἡμέρας, καὶ μετὰ τοῦτο ἔψησαν καὶ ὤπτησαν». Καὶ μετ’ ὀλίγον· «Τὸ δὲ ἀπολελυμένον ὕδωρ θεῖον, τὸ δι’ ἀσβέστου μέρη δύο, καὶ θείου μέρος ἓν, τὸ ἐν χύτρᾳ ἑψημένον καὶ ἀποσειρούμενον· καὶ πάλιν ἑψούμενον, τουτέστι τὸ ὕδωρ τὸ θεῖον, τὸ εἰς ἄμφω χρώματα βαλλόμενον.»